**SS 2025 Λυσιστράτη, Agon 506-524 (4. Sitzung) (Karanasiou)**
https://www.schooltime.gr/wp-content/uploads/2013/07/lisistrati-aristofanous_prototipo-keimeno_www.schooltime.gr_.pdf

**Γυνὴ Α.**
κλαύσει τοίνυν πολὺ μᾶλλον.

**Πρόβουλος**
τοῦτο μὲν ὦ γραῦ σαυτῇ κρώξαις· σὺ δέ μοι λέγε.

**Λυσιστράτη**

ταῦτα ποιήσω.

ἡμεῖς τὸν μὲν πρότερον πόλεμον καὶ τὸν χρόνον ἠνεσχόμεθα

ὑπὸ σωφροσύνης τῆς ἡμετέρας τῶν ἀνδρῶν ἅττ᾽ ἐποιεῖτε.

οὐ γὰρ γρύζειν εἰᾶθ᾽ ἡμᾶς. καίτοὐκ ἠρέσκετέ γ᾽ ἡμᾶς.

ἀλλ᾽ Ἤσθανόμεσθα καλῶς ὑμῶν, καὶ πολλάκις ἔνδον ἂν οὖσαι

ἠκούσαμεν ἄν τι κακῶς ὑμᾶς βουλευσαμένους μέγα πρᾶγμα·

εἶτ᾽ ἀλγοῦσαι τἄνδοθεν ὑμᾶς ἐπανηρόμεθ᾽ ἂν γελάσασαι,

"τί βεβούλευται περὶ τῶν σπονδῶν ἐν τῇ στήλῃ παραγράψαι

ἐν τῶι δήμῳ τήμερον ὑμῖν;" "τίδὲ σοὶ ταῦτ᾽;" ἦ δ᾽ ὃς ἂν ἀνήρ.

"οὐ σιγήσει;" κἀγὼ ἐσίγων.

**Γυνὴ Β.**

ἀλλ᾽ οὐκ ἂν ἐγώ ποτ᾽ ἐσίγων.

**Πρόβουλος**

κἂν ᾤμωζές γ᾽, εἰ μὴ ᾽σίγας.

**Λυσιστράτη**

τοιγὰρ ἔγωγ᾽ ἔνδον ἐσίγων.

. . . ἕτερόν τι πονηρότερον βούλευμ᾽ ἐπεπύσμεθ᾽ ἂν ὑμῶν·

εἶτ᾽ ἠρόμεθ᾽ ἄν · “πῶς ταὖτ᾽ ὦνερ διαπράττεσθ᾽ ὧδ᾽ ἀνοήτως;”
ὁ δέ μ᾽ εὐθὺς ὑποβλέψας <ἄν> ἔφασκ᾽, εἰ μὴ τὸν στήμονα νήσω,

ὀτοτύξεσθαι μακρὰ τὴν κεφαλήν · “πόλεμος δ᾽ ἄνδρεσσι μελήσει.”

**Πρόβουλος**
ὀρθῶς γε λέγων νὴ Δί᾽ ἐκεῖνος.

**Λυσιστράτη**
πῶς ὀρθῶς ὦ κακόδαιμον,
εἰ μηδὲ κακῶς βουλευομένοις ἐξῆν ὑμῖν ὑποθέσθαι;
ὅτε δὴ δ᾽ ὑμῶν ἐν ταῖσιν ὁδοῖς φανερῶς ἠκούομεν ἤδη,
“οὐκ ἔστιν ἀνὴρ ἐν τῇ χώρᾳ;” “μὰ Δί᾽ οὐ δῆτ᾽,” <εἶφ᾽> ἕτερός τις ·